Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἀλλ', ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
οἴκτειρον ἡμᾶς κἀπικούφισον κακῶν.
ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι·
σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.

ΕΡ. ἰδού, διώκω τὸν ἐμὸν εἰς δόμους πόδα.
σώθηθ' ὅσον γε τοὐπ' ἔμ'. ΗΛ. ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;

ΕΡ. οἲ 'γώ· τίνας τούσδ' εἰσορῶ; ΟΡ. σιγᾶν χρεών·
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοί, σωτηρία.

ΗΛ. ἔχεσθ' ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ
βαλόντες ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακούς,
εὑρὼν ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.

ΧΟ. ἰὼ ἰὼ φίλαι, str.
κτύπον ἐγείρετε, κτύπον καὶ βοὰν
πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
καθαιμακτὸν ἐν δόμοις κείμενον,
ἢ καὶ λόγον του προσπόλων πυθώμεθα·
τὰς μὲν γὰρ οἶδα συμφοράς, τὰς δ' οὐ σαφῶς.
διὰ δίκας ἔβα θεῶν
νέμεσις ἐς Ἑλέναν.
δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
διὰ τὸν ὀλόμενον ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.
ἀλλὰ κτυπεῖ γὰρ κλῇθρα βασιλείων δόμων,
σιγήσατ'· ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.

ΦΡ. Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα

---

1345. ἔμ'] codex Kingii, ἐμοί libri. 1346. ἄνδρες F 1350. λαβόντες F βάλλοντες ceteri. 1353—60. ΧΟ.] Seidlerus, ΗΛ. libri. 1355. ἐμβάλλῃ (-ει, -οι) fere libri. 1356. πρὸς οἴκους C 1362. εἰς libri.